σεως ἐνεργείᾳ, δι' ἧς φυσική ἐστιν ἀρχὴ τῆς γενέσεως ἕκαστος τῶν γεννώντων ἀνθρώπων.

## LIII. — Λόγοι τῶν ἀπιστούντων τῇ τοῦ Θεοῦ Λόγου σαρκώσει.

Πρῶτον μὲν φασὶ προσήκειν τῇ θείᾳ ἀγαθότητι τοῦτο, τὸ πάντα τὴν ἑαυτῶν τάξιν ἔχειν· αὕτη δ' ἐστὶ τῶν πραγμάτων ἡ τάξις, ἵνα ὁ μὲν Θεὸς ὑπὲρ πάντα ᾖ, ὁ δ' ἄνθρωπος ἐν τοῖς ὑποδεεστέροις κτίσμασι περιέχηται, καὶ οὐδαμῶς πρέπον ἦν διὰ τοῦτο τὴν θείαν μεγαλειότητα ἑνωθῆναι τῇ ἀνθρωπίνῃ φύσει.

Ἔτι, τὸ ἐκ τῆς τοιαύτης ἑνώσεως χρήσιμον ἠδύνατο ἂν παραυτίκα τῇ θείᾳ βουλήσει μόνον γενέσθαι παντοδυνάμου ὄντος.

Ἔτι, προσφυέστερον ἂν ἡνώθη τῇ ἀγγελικῇ φύσει ὅσῳ καὶ ὁμοιότερος αὐτῇ καὶ πλησιέστερος ἢ τῇ ἀνθρωπίνῃ.

Ἔτι, εἰ διὰ τὴν σωτηρίαν τῶν ἀνθρώπων ἐν τῇ τῆς ἀληθείας κατανοήσει ἡ τοιαύτη γέγονεν ἕνωσις, τῇ πείρᾳ γινώσκομεν, ὅτι περὶ τὴν τοῦ Θεοῦ σάρκωσιν πλεῖσται αἱρέσεις ἀνέκυψαν.

Ἔτι, ἡ πάντων σωτηρία μόλις ἂν δόξειεν ἱκανὴ εἶναι ὠφέλεια, ὑπὲρ ἧς τὸ μέγιστον τῶν θείων γέγονεν ἔργων· καὶ μὴν οὐ πάντη τὸ ἀνθρώπινον σέσωσται γένος ἐκ τῆς τοῦ Θεοῦ σαρκώσεως.

Ἔτι, δι' ἱκανῶν τεκμηρίων ἐφανερώθη ἂν τὸ τὴν ἀνθρωπίνην φύσιν ἀναλαβεῖν τὸν Θεόν, εἰ πρὸς τὴν ἀνθρωπίνην ἐγένετο σωτηρίαν· ἀλλὰ δι' ἄλλων τῇ τοῦ Θεοῦ δυνάμει καὶ χωρὶς τοιαύτης ἑνώσεως μετὰ τοῦ Θεοῦ τοιαῦτα καὶ μείζονα γεγόνασι θαύματα.

Ἔτι, ἐδέησεν ἂν ἐξ ἀρχῆς τὴν τοιαύτην οἰκονομίαν γενέσθαι, καὶ μὴ περὶ τὰ τέλη τοῦ χρόνου· δοκεῖ γὰρ τὴν τῶν παρελθόντων ἀνθρώπων σωτηρίαν παρῶφθαι.

Ἔτι, καὶ μέχρι τέλους | ὤφειλε συναναστρέφεσθαι τοῖς ἀνθρώποις, f. 170v
νουθετήσων καὶ κυβερνήσων διηνεκῶς.

Ἔτι, ἡ τοῦ Θεοῦ θέλησις οὐδὲ πρὸς τὸν τῶν ἁμαρτωλῶν ἐστι θάνατον· πολλῷ τοίνυν ἔλαττον ἦν ἂν θέλησις τοῦ Θεοῦ καὶ Πατρὸς τὸν τελειότατον ἄνθρωπον θανάτῳ ὑποταγῆναι.

Ἔτι, ὠμὸν δοκεῖ καὶ ἀπεινὲς θάνατον ἀθῴῳ ἐπάγεσθαι ἐκ Θεοῦ, καὶ μάλιστα ὑπὲρ ἀσεβῶν καὶ τοῦ θνήσκειν ἀξίων.

Ἔτι, εἰ προσῆκον ἦν μείζονά τινα ἀνθρώπου ψιλοῦ ὑπὲρ ἀνθρώπων διαλύσασθαι, ἱκανὸν ἦν καὶ ἄγγελον σάρκα ἀναλαβόντα πληρῶσαι τὴν διάλυσιν, φύσει ἀνθρώπου ὑψηλότερον ὄντα.

Ἔτι, εἰ ὑπὲρ τῶν ἀνθρωπίνων ἁμαρτημάτων ἔπαθεν ὁ Χριστός,

---

4 Les raisons données sont numérotées en marge dans A: α', β', γ' etc.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

συνεχῶς τῶν ἀνθρώπων ἁμαρτανόντων, ἔδει ἂν καὶ συνεχῶς αὐτὸν θάνατον ὑπιέναι. Εἰ δέ τις λέγοι τὴν τοιαύτην οἰκονομίαν δεῖν γενέσθαι διὰ τὴν προγονικὴν ἁμαρτίαν, οὐδὲ τοῦτο ἱκανόν· εἰ γὰρ οἱ ἄλλοι ἄνθρωποι διαλύσασθαι ὑπὲρ αὐτῆς οὐκ ἤρκεσαν, οὐδ' ὁ τοῦ Χριστοῦ θάνατος ἠδύνατο ἄν, ἐπεὶ καὶ αὐτὸς κατὰ τὴν ἀνθρωπίνην ἀπέθανε φύσιν, οὐ τὴν θείαν.

Ἔτι, εἰ ὁ Χριστὸς τὸ ὀφειλόμενον ὑπὲρ τῶν ἁμαρτιῶν τοῦ ἀνθρωπίνου γένους ἀπέδωκεν, ἄδικον εἶναι δοκεῖ τὸ δίκας ἔτι τοὺς ἀνθρώπους διδόναι, ἃς ὑπὲρ ἁμαρτιῶν ἐπάγεσθαί φησιν ἡ θεία Γραφή.

Ἔτι, εἰ ὁ Χριστὸς ἀρκούντως ὑπὲρ τῶν ἁμαρτιῶν τοῦ ἀνθρωπίνου γένους διελύσατο, οὐκ ἔδει περαιτέρω θεραπείας ζητεῖν ὑπὲρ ἁμαρτημάτων ἀπαλλαγῆς· ζητεῖται δὲ τοῦτο ἀεὶ παρὰ τῶν τῆς αὐτῶν σωτηρίας φροντιζόντων ἀνθρώπων. Οὐκ ἄρα ἀρκούντως ἀφελεῖν δοκεῖ τὰ τῶν ἀνθρώπων ἁμαρτήματα.

## LIV. — Ὅτι προσῆκον ἦν τὸν Θεὸν σαρκωθῆναι.

Ἀλλὰ πρὶν εἰς τὰς λύσεις τούτων ἐλθεῖν, πρὸς κατανόησιν ὡς οἷόν τε τῆς ὑψηλότητος τοῦ μυστηρίου, θεωρητέον ἂν εἴη πρῶτον μὲν ὅτι ἡ τοῦ Θεοῦ σάρκωσις τῷ πρὸς τὴν μακαριότητα σπεύδοντι ἀνθρώπῳ δραστικώτατον γέγονε φάρμακον. Ἐπειδὴ γὰρ εἰκὸς ἦν ἀμβλύνεσθαι τὸν ἄνθρωπον περὶ τὴν τῆς μακαριότητος ζήτησιν τῇ ἀπογνώσει, οἰόμενον ὡς οὐδέποτ' ἂν οἷός τε γένοιτο ἐλθεῖν εἰς τὴν ἄμεσον τοῦ Θεοῦ θεωρίαν καὶ ἀμέσως συναφθῆναι τὸν νοῦν αὐτῷ, τῇ θείᾳ οὐσίᾳ, ὡς νοητῷ, διὰ τοῦ τὸν Θεὸν ἑαυτῷ τὴν ἀνθρωπίνην ἑνῶσαι φύσιν καθ' ἓν πρόσωπον, τοῦτο δυνατὸν εἶναι τῷ ἀνθρώπῳ παρέστησεν ὁ Θεός, καὶ οὕτω τῇ τοῦ Θεοῦ Λόγου πρὸς ἡμᾶς ἑνώσει ἡ τοῦ ἀνθρώπου γνώμη πρὸς τὴν μακαριότητα
f. 171 μετεωρίζεται. | Ὅθεν μετὰ τὴν τοῦ Χριστοῦ σάρκωσιν ἤρξαντο οἱ ἄνθρωποι πρὸς τὴν μακαριότητα μᾶλλον ἀφορᾶν, ὡς ἐν τῷ κατὰ Ἰωάννην αὐτὸς φησίν· „Ἐγὼ ἦλθον, ἵνα ζωὴν ἔχωσι, καὶ περισσὸν ἔχωσιν".

Ὁμοίως δὲ διὰ τούτου ἀναιροῦνται τῷ ἀνθρώπῳ καὶ τὰ πρὸς τὸ τυχεῖν τῆς μακαριότητος ἐμπόδια. Δυνατὸν γὰρ τὸν ἄνθρωπον, ὑπαγόμενον πρὸς τὸ συντίθεσθαι τοῖς μετὰ Θεὸν οὖσι πράγμασιν ὡς τέλεσιν, ἀγνοοῦντα τὴν τάξιν τῆς ἑαυτοῦ φύσεως, ἀποπίπτειν ἀεὶ τῆς ἀληθοῦς μακαριότητος· ὅθεν οἳ μὲν ἐν ταῖς σωματικαῖς ἔζησαν ἡδοναῖς, ἐν ταύταις τὴν εὐδαιμονίαν τιθέντες· οἳ δὲ τοῖς ὑπερέχουσι τῶν κτισμάτων τὴν τοῦ Θεοῦ λατρείαν ἀπένειμαν, καίτοι, ὅσον πρὸς τὴν τοῦ τέλους τάξιν, οὐδέν ἐστιν ὑψηλότερον τοῦ ἀνθρώπου, εἰ καί κατ' ἄλλα ἐλαττοῦταί τινων κτισμάτων. Τοῦτο τοίνυν τὸ ἀξίωμα τοῦ ἀνθρώπου, τὸ ἐν ἀμέσῳ δηλονότι τοῦ Θεοῦ θεωρίᾳ τυχεῖν τῆς μακαριότητος, ἔδειξεν ὁ Θεὸς ἐναργέστατα,

---

28 I Ioh. 10, 10

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ἀμέσως αὐτὸς τὴν ἀνθρωπίνην φύσιν ἀναλαβών. Ὅθεν ἠκολούθησε τῇ θείᾳ σαρκώσει τὸ τοὺς πλείστους τῶν ἀνθρώπων, τὴν τῶν κτισμάτων τοῦ Θεοῦ λατρείαν ἀφέντας καὶ τῶν σωματικῶν ἁπάντων καταφρονήσαντας, καὶ τὴν ζωώδη ζωὴν ὑπερβάντας, μόνῃ τῇ τοῦ Θεοῦ λατρείᾳ ἑαυτοὺς ἀφιερῶσαι, παρ' οὗ μόνου τὸ τῆς μακαριότητος τέλειον προσδοκῶσιν, ὡς ὁ Ἀπόστολος παραινεῖ· „Τὰ ἄνω ζητεῖτε ὅπου Χριστός ἐστιν ἐν δεξιᾷ τοῦ Θεοῦ καθήμενος· τὰ ἄνω φρονεῖτε, καὶ μὴ τὰ ἐπὶ γῆς".

Ἔτι, ἀναγκαῖον γέγονε πρὸς τὸ τελείαν ἀσφάλειαν περὶ τῆς ἐν τῇ πίστει ἀληθείας ἔχειν τὸν ἄνθρωπον, ὑπ' αὐτοῦ τοῦ Θεοῦ παιδευθῆναι γεγονότος ἀνθρώπου, ὥστε τὸν ἄνθρωπον κατὰ τὴν αὐτοῦ φύσιν δέξασθαι τὴν θείαν διδασκαλίαν· καὶ τοῦτ' ἔστιν ὃ λέγεται ἐν τῷ πρώτῳ τοῦ κατὰ Ἰωάννην· „Θεὸν οὐδεὶς ἑώρακε πώποτε· ὁ μονογενὴς Υἱός, ὁ ὢν εἰς τὸν κόλπον τοῦ Πατρός, αὐτὸς ἐξηγήσατο". Ἀλλὰ καὶ αὐτὸς ὁ Θεὸς ἐν τῷ κατὰ Ἰωάννην φησίν· „Εἰς τοῦτο γεγέννημαι, καὶ εἰς τοῦτο ἐλήλυθα εἰς τὸν κόσμον, ἵνα μαρτυρήσω τῇ ἀληθείᾳ". Ὅθεν μετὰ τὴν Χριστοῦ σάρκωσιν ὁρῶμεν τοὺς ἀνθρώπους καθαρώτερον καὶ βεβαιότερον εἰς τὴν γνῶσιν τοῦ Θεοῦ καθεστῶτας, ὡς ἐν τῷ Ἡσαΐᾳ· „Ἐπλήσθη ἡ γῆ πᾶσα τοῦ γνῶναι τὸν Κύριον".

Ἔτι ἀναγκαῖον ἦν τὸν ἄνθρωπον, ἐπὶ τὴν τελείαν μακαριότητα τεταγμένον, εἰς τὸν θεῖον ἐνάγεσθαι ἔρωτα· καὶ γὰρ ἀπολαύειν μὲν ἀξιοῦται ὁ ἐπιθυμήσας σφοδρῶς· ἐπιθυμεῖ δὲ ὁ ἀγαπήσας· | ἐρᾷ δὲ ὁ f. 171v
πεῖραν λαβὼν τῆς τοῦ ἐρωμένου ἀγάπης. Ἡ δὲ τοῦ Θεοῦ πρὸς τὸν ἄνθρωπον ἀγάπη οὐκ ἂν ἄλλως ἠδύνατο φανερωθῆναι καθαρῶς εἰ μὴ διὰ τοῦ τὸν Θεὸν τῷ ἀνθρώπῳ καθ' ἓν πρόσωπον ἑνωθῆναι θελῆσαι. Ἔστι γὰρ ἴδιον ἀγάπης ἑνοῦν τῷ ἀγαπῶντι τὸ ἀγαπώμενον καθόσον οἷόν τε.

Ἔτι, ἀναγκαῖον ἦν τῷ πρὸς ἀρετὴν βεβαιωθησομένῳ ἀνθρώπῳ παρὰ τοῦ ἐνανθρωπήσαντος Θεοῦ τὴν διδασκαλίαν καὶ τὰ τῆς ἀρετῆς παραδείγματα δέχεσθαι· πρὸς γὰρ τὴν ἀρετὴν λόγοις καὶ παραδείγμασιν ἐναγόμεθα τοσοῦτον ὀξύτερον, ὅσον φίλοι τε μᾶλλόν εἰσιν οἱ ταῦτα παρεχόμενοι, καὶ ὅσῳ βεβαιοτέραν περὶ τῆς αὐτῶν ἀγαθότητος ἔχομεν δόξαν· οὔτε δὲ φιλία μείζων γένοιτ' ἂν ἧς περὶ ἡμᾶς ὁ Θεὸς ἐνεδείξατο κοινωνήσας ἡμῖν ἐν ἰσότητι φύσεως· οὔτε δὲ βεβαιότης μείζων ἂν εἴη περὶ οὐδενὸς τῶν ἐν ἀνθρώποις μεγίστων, ἐπεὶ καὶ οἱ ἁγιώτατοι ἔν τισιν ἐνδέοντες κατελήφθησαν. Διὰ τοῦτο ἐν τῷ κατὰ Ἰωάννην αὐτός φησιν ὁ Κύριος· „Ὑπόδειγμα δέδωκα ὑμῶν, ἵνα καθὼς ἐγὼ πεποίηκα, καὶ ὑμεῖς ποιῆτε ὁμοίως".

Ἔτι, ἐπεὶ ὁ ἄνθρωπος ὑπὸ τῶν ἁμαρτιῶν τῆς μακαριότητος εἴργεται, οὐ μόνον ἀτακτούσης αὐτῷ τῆς ψυχῆς καὶ διὰ τοῦτο χωριζομένης τῆς πρὸς τὸ τέλος τάξεως, ἀλλὰ καὶ πρὸς τὸν Θεὸν προσκοπτούσης, παρ' οὗ τὸ τῆς

---

6 Col. 3, 1-2  12 Ioh. 1, 18  14 Ioh. 18, 37  17 Is. 11, 9  34 Ioh. 13, 15

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

μακαριότητος ἆθλον ἐλπίζεται· καὶ ἐπὶ τούτοις ἀποβάλλοντος τοῦ ἀνθρώπου τὴν τῷ Θεῷ προσέρχεσθαι παρρησίαν διὰ τὸ συνειδὸς τοῦ προσκόμματος, ἔδει μὲν κατὰ τῶν ἁμαρτημάτων θεραπείαν δοθῆναι· ἔδει δὲ διὰ μόνου Θεοῦ, ὃς καὶ τὴν ἀνθρωπίνην βούλησιν δύναται κινεῖν εἰς τὸ ἀγαθόν, ὥστ' ἐπανάγειν αὐτὸν εἰς τὴν πρέπουσαν τάξιν καὶ τὰς εἰς αὐτὸν πλημμελείας ἀφιέναι, εἰς ὃν γέγονεν ἡ πλημμέλεια. Ἔδει τοίνυν τὸν Θεὸν ἄνθρωπον γενέσθαι πρὸς τὸ τυχεῖν τὸν ἄνθρωπον τῆς μακαριότητος, καὶ τῆς τῶν ἁμαρτιῶν ἀφέσεως τυχόντα παρ' αὐτοῦ τοῦ Θεοῦ, γεγονότος ἀνθρώπου, καὶ τὸ τῆς τοιαύτης ἀφέσεως βέβαιον ἀμέσως προσειληφότα, ὡς ἐν τῷ κατὰ Ματθαῖον αὐτός φησιν· „Ἵνα δὲ γνῶτε, ὅτι ὁ υἱὸς τοῦ ἀνθρώπου ἔχει ἐξουσίαν ἐπὶ τῆς γῆς ἀφιέναι ἁμαρτίας“· καὶ ἐν τῇ πρὸς Ἑβραίους· „Τὸ αἷμα τοῦ Χριστοῦ, καθαρίσει τὴν συνείδησιν ἡμῶν ἀπὸ τῶν νεκρῶν ἔργων εἰς τὸ δουλεύειν Θεῷ ζῶντι“.

Ἔτι, ἐκ τῆς τάξεως τῆς θείας δικαιοσύνης ἐστὶ τὸ ἄνευ διαλύσεως μὴ δυνατὸν εἶναι τὴν ἁμαρτίαν ἀφίεσθαι. Οὐδεὶς δὲ ψιλὸς ἄνθρωπος f. 172 ἠδύνατο ὑπὲρ τῆς | ἁμαρτίας τοῦ ἀνθρωπίνου διαλύσασθαι γένους. Ἔδει τοίνυν καὶ ἄνθρωπον εἶναι τὸν ἱκανοποιοῦντα ὡς αὐτῷ τοῦτο πρέπον, καὶ ἀρκοῦντα πρὸς τὸ ἱκανοποιεῖν διὰ τὴν ἀξίαν τὴν ὑπὲρ ἄνθρωπον· μεῖζον δέ τι τοῦ ἀνθρώπου οὐκ ἦν πλὴν τοῦ Θεοῦ· οἱ γὰρ ἄγγελοι, εἰ καὶ φύσει ὑψηλότεροι ἀνθρώπου, ἀλλ' οὐ καὶ κατὰ τὴν τάξιν τοῦ τέλους, ἐπεὶ κατὰ τὸ αὐτὸ τῆς μακαριότητος ἄμφω τυγχάνουσιν, Ἔδει τοίνυν τὸν Θεὸν ἄνθρωπον γενέσθαι, ὥστ' ἀναιρεθείσης τῆς ἁμαρτίας τοῦ γένους, τυχεῖν δύνασθαι αὐτὸ τῆς μακαριότητος· καὶ τοῦτο βούλεται τό· „Ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου“, καὶ τὸ ἐν τῇ πρὸς Ῥωμαίους· „Ὥσπερ ἡ ἁμαρτία ἐξ ἑνὸς εἰς πάντας εἰς κατάκριμα, οὕτως ἡ χάρις ἐξ ἑνὸς ἐπὶ πάντας εἰς δικαίωμα“. Οὕτως οὐ μόνον τῇ ἀνθρωπίνῃ συμφερώτατον φύσει, ἀλλ' οὐδὲ τῆς θείας ἀνάξιον ἀγαθότητος τὸ ἄνθρωπον γεγονέναι τὸν Θεόν.

## LV. — Λύσεις τῶν κατὰ τῆς σαρκώσεως ἀντιθέσεων.

Τὰ δὲ πρὸς τοῦτο ἀντιτεθέντα λύειν οὐ χαλεπόν· οὐ γάρ ἐστιν ἐναντίον τῇ τῶν πραγμάτων τάξει τὸ τὸν Θεὸν ἄνθρωπον γεγονέναι. Εἰ γὰρ καὶ ἡ θεία φύσις ἐπ' ἄπειρον ὑπερβαίνει τὴν ἀνθρωπίνην, ἀλλ' ὁ ἄνθρωπος φύσει τὸν Θεὸν ἔχει τέλος, καὶ διὰ νοῦ τούτῳ συνάπτεσθαι πέφυκεν· ἧς ἑνώσεως ὑπόδειγμα καὶ διδασκαλία τις ἡ τοῦ Θεοῦ πρὸς τὸν ἄνθρωπον καθ' ἓν πρόσωπον ἕνωσις γέγονεν, τηρηθείσης μέντοι τῆς ἰδιότητος ἑκατέρᾳ τῶν φύσεων. Ἀλλ' οὐδ' ἐκπίπτει τῆς οἰκείας ὁ Θεὸς ἀξίας τῷ πλησιάζειν

---

**10 Matth. 9, 6 12 Heb. 9, 14 23 Ioh. 1, 29 25 Rom. 5, 18 31 Les réponses sont numérotées en marge A**

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

τι τῶν κτισμάτων αὐτῷ ὡς ἐγχωρεῖ, καίτοι προσθήκης τῷ πλησιάζοντι γινομένης. Οὕτω γὰρ ὁ Θεὸς τῆς οἰκείας ἀγαθότητος τοῖς κτίσμασι κοινωνεῖ ὥστ' ἐκ τούτου μηδεμίαν αὐτὸν πάσχειν ζημίαν.

Εἰ δὲ καὶ τῇ ἑαυτοῦ βουλήσει ἠδύνατο ποιεῖν τὴν αὐτὴν ὠφέλειαν ἐν τῷ ἀνθρωπίνῳ γένει ὁ Θεός, ἀλλ' οἰκειότερον ἦν τῇ ἀνθρωπίνῃ φύσει τὸ τὰς τοιαύτας ὠφελείας παρεισαχθῆναι διὰ Θεοῦ ἀνθρώπου γεγεννημένου. Ἀπαιτεῖται γὰρ τῇ θείᾳ σοφίᾳ τὸ προνοεῖν ἑκάστου ὡς αὐτὸ πέφυκεν, καὶ πᾶσιν οἰκείως τὰς ἰδίας αἰτίας ἀπένειμεν.

Ἐπεὶ δὲ προσῆκον ἦν πάντως λογικὴν κτίσιν ἀναλαβεῖν τὸν Θεόν, εἰ καὶ σεμνοτέρα ἡ ἀγγελική, ὅσον κατὰ τὰς φυσικὰς ἰδιότητας, ἀλλὰ πρεπωδεστέρα ἡ ἀνθρωπίνη ἀναληφθῆναι ἦν· πρῶτον μέν, ὅτι ἡ ἁμαρτία ἐν μόνῳ τῷ ἀνθρώπῳ ἰάσιμος· ἡ γὰρ ἀνθρωπίνη αἵρεσις οὐκ ἀκινήτως ἐπὶ τἀγαθὸν ἢ τοὐναντίον φέρεται, ἀλλὰ ῥᾳδίως ἐφ' ἑκάτερα μεταπίπτει· ὁ δ' | ἄγγελος, ὥσπερ ἀκίνητον τὴν κατάληψιν ἔχει, δι' ἁπλῆς γινώσκων f. 172v ἐπιβολῆς, οὕτω καὶ ἀκίνητον αἵρεσιν ἔχει· ὅθεν ἐπὶ τὸ κακὸν ἢ οὐδόλως κινεῖται, ἢ ἀμετακινήτως, ἐπειδὰν κινηθῇ· διὰ τοῦτο καὶ ἁμαρτών, ἀθεράπευτος. Αἰτία δὲ τῆς σαρκώσεως ἦν ὁ ἐξιλασμὸς τῶν ἁμαρτιῶν. Δεύτερον, ὅτι τῇ καθ' ὑπόστασιν, οὐ κατὰ φύσιν ἑνώσει, ὡς δέδεικται, ἡ πρόσληψις τῆς ἀγγελικῆς οὐχ ἥρμοττε φύσεως διὰ τὸ ἐν μὲν τῷ ἀνθρώπῳ ἕτερον εἶναι φύσιν καὶ ὑπόστασιν ἐξ ὕλης καὶ εἴδους συγκειμένῳ, ἐν ἀγγέλῳ δὲ οὐδαμῶς. Τρίτον, ὅτι ὁ ἄγγελος τῇ ἰδιότητι τῆς φύσεως ἐγγύτερος τῷ γινώσκειν τὸν Θεὸν ἢ ὁ ἄνθρωπος, οὗτινος ἡ γνῶσις ἐκ τῆς αἰσθήσεως ἀνακύπτει. Ἤρκει τοίνυν τῷ ἀγγέλῳ τὸ νοητῶς παρὰ Θεοῦ περὶ τῆς θείας ἀληθείας διδάσκεσθαι· ἡ δὲ τοῦ ἀνθρώπου ἕξις ἐζήτει τὸν Θεὸν αἰσθητῶς αὐτὸν περὶ ἑαυτοῦ διδάσκειν, ὃ διὰ τῆς σαρκώσεως γέγονεν. Ἀλλὰ καὶ αὐτὴ τοῦ ἀνθρώπου πρὸς τὸν Θεὸν ἡ διάστασις τῇ θείᾳ ἀπολαύσει μᾶλλον ἐναντιοῦσθαι ἐδόκει, καὶ διὰ τοῦτο μᾶλλον τοῦ ἀγγέλου ὁ ἄνθρωπος, ἐδεήθη προσληφθῆναι παρὰ Θεοῦ διὰ τὴν ἐλπίδα τῆς προσδοκωμένης μακαριότητος.

Αἱρέσεις δὲ μετὰ τὴν σάρκωσιν πολλῷ μὲν πλείους ἀνῃρέθησαν ἢ ἀνέκυψαν, καὶ χείρους· περὶ δὲ τῶν ἀνακυψασῶν ἐκ τῆς ἀνθρωπίνης περὶ τὴν ἀλήθειαν ἀσθενείας, οὐδὲν θαῦμα, ὥσπερ οὐδ' ὅτι τῇ τῶν ὄντων δημιουργίᾳ ἐκ τῆς θείας ἀγαθότητος προϊούσῃ κακά τινα ἠκολούθησεν, ὅπερ ἥρμοζε τῇ τῶν κτισμάτων ἕξει, καθ' ἣν δύνανται καὶ ἐλλείπειν. Ὅμως καὶ αἱ αἱρέσεις αὗται τὰς τῶν πιστῶν ἐπινοίας παρέθηξαν πρὸς τὸ τὴν τῶν θείων ἀλήθειαν ἀκριβέστερον καὶ ζητεῖν καὶ νοεῖν, ὥσπερ καὶ τὰ συμβαίνοντα κακὰ ἐν τοῖς κτίσμασιν ὁ Θεὸς εἰς ἀγαθόν τι τάττει.

Ὠφέλεια δὲ μεγίστη μὲν ἐκ τῆς σαρκώσεως ἠκολούθησεν, ἡ τῶν

---

34 *ἐλλείπειν* corrigé de *ἐκλείπειν* A

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ἀνθρώπων σωτηρία, ἐν τῇ ἀπολαύσει τῆς θείας ἀγαθότητος συνισταμένη, ἧς τὴν λογικὴν κτίσιν τυχεῖν μέγιστόν ἐστιν ἐν τοῖς κτιστοῖς πράγμασι, καὶ οὐδὲν μεῖζον. Ἀλλ' οὐ διὰ τοῦτο καὶ πάντας ἔδει σωθῆναι, ἀλλὰ μόνους τοὺς προσέχοντας αὐτῇ διὰ πίστεως καὶ τῶν τῆς πίστεως μυστηρίων, καίτοι ἡ πίστις τῆς θείας σαρκώσεως ἤρκει πρὸς τὴν ἁπάντων σωτηρίαν f. 173 καὶ ἀρκεῖ. Ἀλλὰ τὸ μὴ πάντας ἐκ ταύτης σῴζεσθαι | ἐκ τῆς ἀνεπιτηδειότητός ἐστι τῶν οὐ βουλομένων λαμβάνειν ἐν ἑαυτοῖς τὸν ταύτης καρπὸν καὶ τῷ σαρκωθέντι Θεῷ δι' ἀγάπης καὶ πίστεως οὐ προσκολλωμένων· οὐδὲ γὰρ ἔδει τὸ αὐτεξούσιον τῶν ἀνθρώπων ἀναιρεθῆναι, δι' οὗ δύνανται συνάπτεσθαι τῷ σαρκωθέντι Θεῷ, ἵνα μὴ κατηναγκασμένον ᾖ τὸ ἀγαθὸν τοῦ ἀνθρώπου, καὶ διὰ τοῦτο ἀμοιβῆς ἐκτὸς καὶ ἐπαίνων.

Ἀλλὰ μὴν καὶ ἀρκοῦσι σημείοις ἐφάνη ἡ σάρκωσις, τοῖς ἰδίοις δηλαδὴ τοῦ Θεοῦ· ἴδιον δὲ αὐτοῦ τὸ τοὺς τῆς φύσεως νόμους δύνασθαι μεταβάλλειν ἐπὶ τὸ ὑπὲρ τὴν φύσιν ἐνεργεῖν, ἧς αὐτός ἐστι δημιουργός. Ἐφωτίζοντο τοίνυν ὑπὸ τοῦ Χριστοῦ, τυφλοί, λεπροὶ ἐκαθαίροντο, νεκροὶ ἀνίσταντο. Ὅθεν καὶ αὐτὸς τοῖς ζητοῦσι· „Σὺ εἶ ὁ ἐρχόμενος, ἢ ἕτερον προσδοκῶμεν", διὰ τούτων τῶν ἔργων τὴν αὐτοῦ θεότητα ὑπεδείκνυ λέγων· „Τυφλοὶ ἀναβλέπουσι, χωλοὶ περιπατοῦσι", καὶ τὰ ἑξῆς. Εἰ δὲ καὶ παρ' ἄλλων ἐγένοντό ποτε θαύματα, ἀλλὰ διαφορώτερον καὶ θειότερον ὁ Χριστὸς ταῦτα ἐποίησεν· οἱ μὲν γὰρ ἄλλοι προσευχόμενοι ταῦτα ποιεῖν λέγονται, ὁ δὲ Κύριος, προστάττων ὥσπερ ἐξ ἰδίας δυνάμεως, καὶ οὐ μόνον αὐτὸς ταῦτα πεποίηκεν, ἀλλὰ καὶ ἄλλοις τοῦ ταῦτα ποιεῖν δέδωκεν ἐξουσίαν, οἳ μόνῃ τῇ τοῦ Χριστοῦ ἐπικλήσει τὰ τοιαῦτα ἐθαυματούργουν. Καὶ οὐ μόνον σωματικὰ θαύματα διὰ τοῦ Χριστοῦ γέγονεν, ἀλλὰ καὶ πνευματικὰ καὶ ἀσώματα, ἃ πολλῷ μείζονα, τὸ δι' αὐτῶν δηλονότι καὶ τῆς ἐπικλήσεως τοῦ ὀνόματος αὐτοῦ τὸ Πνεῦμα τὸ ἅγιον δίδοσθαι, ὥστε τὰς καρδίας ἀνάπτεσθαι τῇ τῆς θείας ἀγάπης ἐφέσει, καὶ τὰς διανοίας ἀθρόον τῇ τῶν θείων παιδεύεσθαι ἐπιστήμῃ, καὶ γλώσσας ἀνθρώπων ἰδιωτῶν ἐπιτηδείας ἀποδείκνυσθαι πρὸς τὸ τοῖς ἀνθρώποις τὴν θείαν ἀλήθειαν προτιθέναι, ἃ πάντα τεκμήριον ἐμφανῆ τῆς θεότητος τοῦ Χριστοῦ, ἃ μηδεὶς ἄνθρωπος ψιλὸς ἠδυνήθη ποιῆσαι.

Οὐκ ἔδει δὲ ἐξ ἀρχῆς τοῦ κόσμου τὸν Θεὸν σαρκωθῆναι. Ἔδει γὰρ τὸν ἄνθρωπον μέχρι τινὸς ἐγκαταλειφθῆναι, ὥστ' ἐκ πείρας γνῶναι, ὅτι πρὸς τὴν σωτηρίαν οὐκ ἂν ἀρκέσειεν αὐτὸς ἑαυτῷ οὔτε κατὰ τὴν φυσικὴν σοφίαν, οὔτε κατὰ τὴν ἰδίαν ἀρετήν, ἐπεὶ δοθείσης αὐτῷ γνώσεως τῆς f. 173v ἰδίας ἀσθενείας διὰ τοῦ νόμου, | πάλιν ἐξ ἀσθενείας ἡμάρτανεν· καὶ διὰ τοῦτο ἐδέησε, πεπαυμένης αὐτῷ τῆς οἰήσεως, βοήθημα κατὰ τῆς ἁμαρτίας δοθῆναι δραστήριον, τὴν χάριν τοῦ σαρκωθέντος Θεοῦ, δι' ἧς καὶ ἐπαιδεύθη

16 Luc. 7, 20 17 Luc. 7, 22

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

περὶ τῶν ἀμφιβόλων ἵνα μὴ γνώσεως ἰδίας δέηται, καὶ πρὸς τὰς τῶν πειρασμῶν ἐπαναστάσεις ἐρρώσθη ἵνα μὴ ὑπὸ τῆς ἀσθενείας ἐκλύηται. Ἀπαιτεῖ δὲ καὶ ἡ τῆς ἀνθρωπίνης φύσεως τάξις καὶ ἕξις τὸ μὴ πρὸς τὸ τέλειον ἀθρόως ἄγεσθαι, ἀλλὰ χειραγωγεῖσθαι διὰ τῶν ἀτελῶν, ὥστ' ἐπὶ τὸ τέλειον φθάσαι, ὃ καὶ ἐπὶ τῆς τῶν παίδων ἀγωγῆς ὁρῶμεν, οἳ πρῶτον περὶ τῶν ἐλαχίστων διδάσκονται, ἐξ ἀρχῆς οὐκ ἂν δυνηθέντες τὰ τέλεια δέξασθαι. Ὁμοίως δὲ καὶ πλήθει οὐκ ἂν εὐπαράδεκτα γένοιντο τὰ ἀληθῆ τε καὶ δυσχερῆ, μὴ πρότερον διά τινων ἐλαττόνων συνεθισθέντι. Διὸ καὶ τριῶν καταστάσεων ἐδέησε τῷ ἀνθρωπίνῳ γένει· τῆς πρὸ τοῦ νόμου, τῆς ὑπὸ τὸν νόμον, καὶ τῆς ὑπὸ τὴν χάριν. Καὶ ἡ μὲν πρὸ τοῦ νόμου ὥσπερ φυσική τις ἦν προπαρασκευή· ἡ δὲ ὑπὸ τὸν νόμον, ὥσπερ προμάθημα· ἡ δὲ ὑπὸ τὴν χάριν ἦν τὸ τέλειον μάθημα. Ὅθεν ἐπαιδεύοντο μὲν ἐξ ἀρχῆς οἱ ἄνθρωποι τὰ πρὸς τὴν σωτηρίαν ἀνήκοντα διά τινων κούφων διδαγμάτων διὰ τῶν πατριαρχῶν καὶ τοῦ νόμου καὶ τῶν προφητῶν σφίσι προτιθεμένων. Ἐπὶ δὲ τῇ συντελείᾳ τῶν χρόνων τὴν τελείαν τοῦ Χριστοῦ διδασκαλίαν ἐπὶ γῆς προτιθεμένην ἐδέξαντο, ὡς ἐν τῇ πρὸς Γαλάτας λέγεται· „Ὅτε δὲ ἦλθε τὸ πλήρωμα τῶν καιρῶν, ἀπέστειλεν ὁ Θεὸς τὸν Υἱὸν αὐτοῦ εἰς τὴν γῆν“· καὶ αὖθις· „Ὁ νόμος παιδαγωγὸς ἦν ἡμῖν εἰς Χριστόν, καὶ οὐκέτι ὑπὸ παιδαγωγόν ἐσμεν“. Καὶ καθάπερ δὲ παρουσίας βασιλέως μεγάλου ἀνάγκη προηγεῖσθαι ἀγγέλους προπαρασκευάζοντας τοὺς ὑπηκόους μετὰ πλείονος εὐλαβείας αὐτὸν ὑποδέξασθαι, οὕτως ἐχρῆν καὶ τῆς ἐπὶ γῆς τοῦ Κυρίου παρρησίας πολλὰ προηγήσασθαι, δι' ὧν ἦσαν ἂν προευτρεπισμένοι οἱ ἄνθρωποι πρὸς τὸ τὸν σαρκωθέντα Θεὸν ὑποδέξασθαι· ὃ δὴ καὶ γέγονεν ἐπαγγελίαις καὶ διδάγμασι προτέροις, ἐπιτηδείων γενομένων τῶν διανοιῶν τοῖς ἀνθρώποις, ὥστε τῷ προεπηγγελμένῳ ῥᾷον πιστεῦσαι, ὡς ἐπιθυμητότερον ὑποδέξασθαι.

Ἀλλ' εἰ καὶ ἀναγκαία ἂν ἦν ἡ διηνεκὴς παρουσία τοῦ Κυρίου τῷ κόσμῳ, ἀλλ' ἕτερον τρόπον ἀνεῖλεν ἂν τὴν εὐλάβειαν τῶν πλειόνων ἀνθρώπων, ἣν ἀποδιδόναι τῷ σαρ|κωθέντι Θεῷ ὤφειλον. Ἀλλὰ μετὰ f. 174
πολλὰ ἅπερ ἐπὶ τῆς γῆς παρὼν ἔδρασεν ἐξαίσια καὶ θεοπρεπῆ, ἀφελόντος τοὺς ἀνθρώπους τὴν ἑαυτοῦ παρουσίαν, μᾶλλον αὐτὸν ἤρξαντο εὐλαβεῖσθαι. Ὅθεν τοῖς αὐτοῦ μαθηταῖς τὸ πλήρωμα τοῦ ἁγίου Πνεύματος οὐκ ἔδωκεν, ἐφόσον τούτοις συνῆν, ὡς ἂν διὰ τὴν ἀπουσίαν αὐτοῦ τῶν ψυχῶν ἐκείνων ἐσομένων τοῖς πνευματικοῖς δώροις ἐπιτηδειοτέρων. Ὅθεν αὐτοῖς ἔλεγεν· „Ἐὰν ἐγὼ μὴ ἀπέλθω, ὁ Παράκλητος οὐκ ἐλεύσεται πρὸς ὑμᾶς· ἐὰν δὲ ἀπέλθω πέμψω τοῦτον πρὸς ὑμᾶς“.

Εἰ δὲ καὶ ἡ θέλησις τοῦ Θεοῦ οὐκ ἔστι πρὸς θάνατον τῶν ἀνθρώπων, ἀλλ' ἔστι πρὸς ἀρετήν, καὶ μάλιστα τὴν μεγίστην, δι' ἣν ὁ ἄνθρωπος

---

17 Gal. 4, 4    18 Gal. 3, 24    35 Ioh. 16, 7

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ἀνδρείως ὑπομένει τὸν θάνατον καὶ ἐξ ἀγάπης θανάτου κινδύνοις ἑαυτὸν ὑποβάλλει. Τοῦτον τοίνυν τὸν τρόπον βεβούληται τὸν τοῦ Χριστοῦ θάνατον ὁ Θεός, καθόσον ὁ Χριστὸς ἐξ ἀγάπης τοῦτον ὑπέμεινεν.

Ὅθεν οὐδ' ὠμὸν ἦν οὐδὲ ἀσεβὲς τὸ θελῆσαι τὸν Θεὸν καὶ Πατέρα τὸν θάνατον τοῦ Χριστοῦ· οὐ γὰρ ἠνάγκασε μὴ βουλόμενον, ἀλλ' ἤρεσε τούτῳ ἡ βούλησις τοῦ Χριστοῦ, δι' ἣν ἐξ ἀγάπης τὸν θάνατον ἀνεδέξατο· καὶ ταύτην δὲ τὴν ἀγάπην ἐν τῇ ψυχῇ τούτου ἐνήργησεν.

Ὑπὲρ ὅλου δὲ τοῦ ἀνθρωπίνου διαλύσασθαι γένους οὐδεὶς ἠδύνατο ψιλὸς ἄνθρωπος· ἀλλ' οὐδ' ἄγγελος ἤρκει πρὸς τοῦτο· ὁ γὰρ ἄγγελος, εἰ κατά τινας φυσικὰς ἰδιότητας μείζων ἐστὶ τοῦ ἀνθρώπου, ἀλλὰ τῇ τῆς μακαριότητος μετοχῇ, ἐφ' ἣν ἔδει διὰ τῆς ἱκανοποιήσεως ταύτης ἀναχθῆναι τὸν ἄνθρωπον, ἴσος ἐστὶ τῷ ἀγγέλῳ· καὶ πάλιν οὐκ ἂν ἡ τοῦ ἀνθρώπου ἀξία τελείως ἐπηνωρθοῦτο, εἰ ὀφειλέτης ἦν ἀγγέλῳ ἱκανοποιήσαντι τὰ ὑπὲρ ἀνθρώπων.

Οὐκ ἔδει δὲ τοσαυτάκις πάσχειν, ὁσάκις καὶ οἱ ἄνθρωποι ἁμαρτάνουσιν· ἤρκει γὰρ ἅπαξ ὁ τοῦ Χριστοῦ θάνατος πρὸς τὸ πάντα ἐξιλάσασθαι, τοῦτο μὲν διὰ τὴν ὑπερβάλλουσαν ἀγάπην, δι' ἣν ὑπέμεινε τὸν θάνατον, τοῦτο δὲ καὶ διὰ τὸ ἀξίωμα τοῦ ἱκανοποιοῦντος. Εἰ γὰρ καὶ τῇ ἀνθρωπίνῃ φύσει τέθνηκε μόνῃ, ἀλλὰ διὰ τὴν τοῦ πάσχοντος προσώπου ἀξίαν τίμιος ὁ θάνατος αὐτοῦ ἀποδείκνυται· καὶ ὥσπερ μεῖζον ἁμάρτημα, βίαν ἐπάγειν τῷ μείζονος ἀξίας ὑπάρχοντι, οὕτω καὶ ἐξ ἀγάπης πρόεισι μείζονος τὸ μείζονα τινὰ ὑπὲρ ἄλλων πάθεσιν ἑαυτὸν ἑκόντα ὑποτιθέναι.

f. 174v Ἀλλ' εἰ καὶ ὁ Χριστὸς τῷ ἑαυτοῦ θανάτῳ | ἱκανῶς ὑπὲρ τῆς προγονικῆς διελύσατο ἁμαρτίας, αἱ τῇ προγονικῇ ἁμαρτίᾳ ἑπόμεναι δίκαι μένουσι κἂν τοῖς μετασχοῦσι τῆς διὰ τοῦ Χριστοῦ γενομένης ἐλευθερίας, πρῶτον μέν, ἵν' ὦσιν οἱ πιστοὶ σύμμορφοι τῷ Χριστῷ ὥσπερ μέλη τῇ κεφαλῇ, καὶ πρότερον τοῖς πάθεσιν ὑποκείμενοι ἐπὶ τὴν ἀθανασίαν ὕστερον καταντῶσιν, ὥσπερ ἐν ἑαυτοῖς τῶν παθημάτων τοῦ Χριστοῦ τὰ τεκμήρια βαστάζοντες, ἵνα καὶ τῆς δόξης γένωνται μέτοχοι, ὡς ἐν τῇ πρὸς Ῥωμαίους λέγεται· „Κληρονόμοι μὲν Θεοῦ, συγκληρονόμοι δὲ Χριστοῦ, καὶ εἴπερ συμπάσχομεν, ἵνα καὶ συνδοξασθῶμεν“. Ἄλλως τε, εἰ οἱ προσιόντες τῷ Χριστῷ ἄνθρωποι εὐθὺς ἀπαθείας καὶ ἀθανασίας ἐτύγχανον, μᾶλλον ἂν διὰ τὰ σωματικὰ ταῦτα ἀγαθὰ προσῄεσαν τῷ Χριστῷ ἢ τῶν πνευματικῶν ἕνεκα, ὅπερ παρὰ τὸν σκοπόν ἐστι τοῦ Χριστοῦ, ἐλθόντος εἰς τὸν κόσμον ἵνα τοὺς ἀνθρώπους ἀπὸ τοῦ τῶν σωματικῶν ἔρωτος ἐπὶ τὸν τῶν πνευματικῶν μεταγάγοι. Καὶ πρὸς τούτοις συνηλαύνοντο ἂν πάντες εἰς τὸ πιστεύειν τῷ Χριστῷ τῷ προδήλῳ τῆς ἀπαθείας καὶ ἀθανασίας, καὶ ἠλαττοῦτο ἂν εὐλόγως ἡ τῆς πίστεως ἀμοιβή.

---

30 Rom. 8, 17

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Τὸ δὲ ἑκάστῳ ζητεῖσθαι πάλιν φάρμακα ὑπὲρ τῆς ἑαυτοῦ σωτηρίας καὶ μετὰ τὴν ἐκ τοῦ Χριστοῦ ἱκανωτάτην διάλυσιν, οὐδὲν θαυμαστόν. Ὁ γὰρ θάνατος τοῦ Χριστοῦ καθολική τίς ἐστι σωτηρίας αἰτία, ὡς ἡ ἁμαρτία τοῦ πρώτου ἀνθρώπου τῆς καταδίκης καθόλου αἴτιον ἦν. Δεῖ δὲ τὴν καθόλου αἰτίαν ἐφαρμόζεσθαι ἑκάστῳ ἰδίως, ἵνα τοῦ ἀποτελέσματος τῆς καθόλου αἰτίας μετέχῃ. Τὸ τοίνυν ἀποτέλεσμα τῆς τοῦ προπάτορος ἁμαρτίας ἔφθασεν ἐφ' ἕκαστον, αἰτίαν ἔχον τὴν σάρκα· τὸ δὲ ἀποτέλεσμα τοῦ θανάτου τοῦ Χριστοῦ, γίνεται ἐν ἑκάστῳ δι' ἰδίας ἀναγεννήσεως, δι' ἧς ὁ ἄνθρωπος τρόπον τινὰ συνάπτεται τῷ Χριστῷ καὶ σύμμορφος γίνεται. Καὶ διὰ τοῦτο ἀνάγκη ἕκαστον ζητεῖν ἀναγεννᾶσθαι διὰ τοῦ Χριστοῦ καὶ πάντα λαμβάνειν, ἐν οἷς ἡ δύναμις τοῦ θανάτου τοῦ Χριστοῦ ἐνεργεῖ. Ἐξ οὗ δῆλον, ὡς ἡ τῆς σωτηρίας ἡμῶν πρόχυσις εἰς ἀνθρώπους ἐκ τοῦ Χριστοῦ οὐ κατὰ διαδοχὴν φύσεως ἐστίν, ἀλλὰ διὰ τῆς περὶ τὴν θέλησιν σπουδῆς, δι' ἧς ὁ ἄνθρωπος τῷ Χριστῷ προσκολλᾶται· καὶ διὰ τοῦτο, οὗπερ ἂν ἕκαστος τυγχάνῃ παρὰ τοῦ Χριστοῦ, προσωπικόν ἐστιν ἀγαθόν· ὅθεν οὐ κάτεισιν εἰς τοὺς ὕστερον, ὥσπερ ἡ ἁμαρτία τοῦ πρώτου ἀνθρώπου, ἣ κατὰ διαδοχὴν προάγεται, κἀντεῦθέν ἐστιν ὅτι, εἰ καὶ οἱ γονεῖς κεκαθαρμένοι εἰσὶ διὰ τοῦ Χριστοῦ τῆς προγονικῆς ἁμαρτίας, οὐκ ἄτοπον μέντοι τοὺς αὐτῶν υἱοὺς μετὰ τῆς προγονικῆς ἁμαρτίας γεννᾶσθαι, καὶ διὰ τοῦτο δεῖσθαι τῶν μυστηρίων τῆς ἐκκλησίας.

Ἐκ τούτων ἁπάντων δήλη ἡ πρὸς πάντα τὰ ἐπαγόμενα κατὰ | τοῦ f. 175 μυστηρίου τῆς σαρκώσεως λύσις. Ἀντιθέσεις γὰρ καὶ πλείους τῶν ἀνωτέρω γεγραμμένων δύνανται εἶναι, ὧν πρὸς τὴν λύσιν ὁδὸς γίνεται διὰ τουτωνὶ τῶν λύσεων· ὥστε δῆλον εἶναι τὸ μηδὲν ἀδύνατον ἢ ἀσύμφωνον ὑπάρχειν ἐν τοῖς ὑπὸ τῆς καθολικῆς πίστεως περὶ τὸ μυστήριον τῆς θείας σαρκώσεως κηρυττομένοις.

## LVI. — Περὶ τῆς τῶν μυστηρίων ἀνάγκης.

Ἐπεὶ δέ, ὡς εἴρηται, ὁ τοῦ Χριστοῦ θάνατος ὥσπερ τις καθολικὴ αἰτία τῆς τῶν ἀνθρώπων σωτηρίας ἐστίν, δεῖ δὲ τὴν καθόλου αἰτίαν ἐφαρμόζεσθαι πρὸς ἕκαστον τῶν ἀποτελεσμάτων, ἀναγκαῖον ἦν δοθῆναί τινα φάρμακα τοῖς ἀνθρώποις, δι' ὧν ἂν συνάπτηται τούτοις ἡ διὰ τὸν θάνατον τοῦ Χριστοῦ γινομένη εὐεργεσία. Τοιαῦτα δὲ εἶναι λέγονται τὰ τῆς Ἐκκλησίας μυστήρια· τὰ δὲ τοιαῦτα φάρμακα μετά τινων αἰσθητῶν παραδίδονται σημείων, πρῶτον μὲν προνοουμένου τοῦ Θεοῦ τῶν ἀνθρώπων κατὰ τὴν τάξιν αὐτῶν, καὶ δι' αἰσθητῶν συμβόλων παραδιδόντος αὐτοῖς τὰ πνευματικά, διότι πρὸς τὸ δέχεσθαι τὰ νοητὰ καὶ πνευματικὰ φύσει διὰ τῶν αἰσθητῶν ἀνάγεσθαι δύνανται· δεύτερον, ἵνα ᾖ τὰ ὄργανα ἀνάλογα τῇ αἰτίᾳ, ἥτις ἦν ὁ σεσαρκωμένος τοῦ Θεοῦ Λόγος, καὶ ἐν αἰσθητοῖς συμβόλοις ἀοράτως ἡ θεία δύναμις ἐνεργῇ.



Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Καὶ οὐδὲν ἄτοπον διὰ τῶν αἰσθητῶν καὶ σωματικῶν χορηγεῖσθαι τὴν ἀσώματον σωτηρίαν· τὸ γὰρ ὄργανον οὐκ ἐκ τῆς αὐτοῦ φύσεως ἐνεργεῖ, ἀλλ' ἐκ τῆς δυνάμεως τοῦ πρώτου ποιοῦντος, ὑφ' οὗ πρὸς τὸ ποιεῖν ἄγεται. Οὕτως οὖν καὶ τὰ αἰσθητὰ ταῦτα τὴν ἀσώματον σωτηρίαν ἐργάζονται, οὐκ ἐκ τῆς ἰδιότητος τῆς ἑαυτῶν φύσεως, ἀλλ' ἐξ αὐτῆς τῆς τοῦ Χριστοῦ νομοθεσίας, ἐξ ἧς τυγχάνουσι τῆς ὀργανικῆς δυνάμεως.

### LVII. — Περὶ τῆς διακρίσεως τῶν μυστηρίων τῆς παλαιᾶς καὶ τῆς νέας.

Ἐπεὶ δὲ τὰ ὁρατὰ ταῦτα μυστήρια τὸ δραστήριον ἐκ τοῦ πάθους ἔχουσι τοῦ Χριστοῦ καὶ τοῦτο τρόπον τινὰ παριστῶσι, τοιαῦτα εἶναι ὀφείλουσιν, οἷα συνᾴδειν τῇ διὰ Χριστοῦ γενομένῃ σωτηρίᾳ, ἣ πρὸ μὲν τῆς σαρκώσεως καὶ τοῦ πάθους τοῦ Χριστοῦ προκατήγγελτο ἐν ὑποσχέσεσιν, ὁ δὲ σαρκωθεὶς καὶ παθὼν Λόγος ὁ τῆς σωτηρίας εἰργασμένος ἐστίν. Τὰ τοίνυν τὴν σάρκωσιν τοῦ Χριστοῦ προσλαβόντα μυστήρια ἐσήμαινε καὶ ὑπισχνεῖτο μόνον τὴν σωτηρίαν, καὶ τοιαῦτα ἦν· τὰ δὲ ἑπόμενα τῷ τοῦ Χριστοῦ πάθει μυστήρια τοιαῦτα εἶναι ἀνάγκη οἷα καὶ χορηγεῖν τοῖς ἀνθρώποις τὴν σωτηρίαν, καὶ οὐ μόνον ἐν συμβόλοις δεικνύναι. Οἱ δὲ Ἰουδαῖοι
f. 175v πιστεύοντες τὰ νομικὰ μυστήρια μηδέποτε | παύσεσθαι διὰ τὸ παρὰ Θεοῦ καταστῆναι, τὸν δὲ Θεὸν μήτε μεταμέλεσθαι, μήτε μεταβάλλεσθαι, ἀγνοοῦσιν, ὅτι περὶ τοὺς νόμους γίνεται μεταβολὴ ἄνευ τῆς τοῦ νομοθέτου μεταβολῆς, ὅταν ἐκεῖνος διάφορα κατὰ τὴν τῶν καιρῶν διαφορὰν ἐπιτάττῃ, ὥσπερ ὁ πατὴρ ἄλλας μὲν δίδωσιν ἐντολὰς τῷ υἱῷ παιδὶ ἔτι ὄντι, καὶ ἄλλας προήκοντι, καὶ οὕτω καὶ ὁ Θεὸς ἄλλας μὲν ἐντολὰς καὶ μυστήρια σημαντικὰς τῶν μελλόντων πρὸ τῆς σαρκώσεως, ἄλλας δὲ μετ' αὐτὴν πρὸς τὸ διδόναι τὰ παρόντα καὶ ἀναμιμνῄσκειν τῶν παρελθόντων. Οἱ δὲ λέγοντες καὶ τὰ νομικὰ καὶ τὰ εὐαγγελικὰ δεῖν τηρεῖσθαι μυστήρια Ναζαριανοὶ καὶ Ἡλιονῖται τἀναντία ἑνοῦσι· φυλάττοντες μὲν γὰρ τὰ εὐαγγελικά, ὁμολογοῦσι τὸ τοῦ Χριστοῦ μυστήριον τελεσθῆναι· τὰ δὲ νομικὰ τηροῦντες, τὰ τοῦ Χριστοῦ μέλλοντα εἶναι βεβαιοῦσιν.

### LVIII. — Περὶ τοῦ ἀριθμοῦ τῶν μυστηρίων τοῦ καινοῦ νόμου.

Ἐπεὶ δ' ὡς εἴρηται τὰ φάρμακα τῆς πνευματικῆς σωτηρίας ἐν συμβόλοις αἰσθητοῖς παραδέδονται τοῖς ἀνθρώποις, πρέπον ἦν τὰ φάρμακα ταῦτα, δι' ὧν ἡ τῆς πνευματικῆς ζωῆς πρόνοια γίνεται, κατὰ τὴν ὁμοιότητα τῆς σωματικῆς ζωῆς διακρίνεσθαι. Ἀλλ' ἐν τῇ σωματικῇ ζωῇ διπλῆν τάξιν εὑρίσκομεν· οἳ μὲν γάρ εἰσι χορηγοὶ καὶ τακτικοὶ τῆς σωματικῆς ζωῆς ἐν τοῖς ἄλλοις· οἳ δὲ τὴν χορηγίαν δεχόμενοι καὶ τὴν τάξιν κατὰ τὴν σωματικὴν ζωήν· τῇ δὲ σωματικῇ τε καὶ φυσικῇ ζωῇ τρία μέν εἰσι καθ' ἑαυτὰ ἀναγκαῖα, τέσσαρα δέ, κατὰ συμβεβηκός. Ἀνάγκη γὰρ ἕκαστον

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

πρῶτον μὲν διὰ γεννήσεως λαβεῖν τὴν ζωήν· δεύτερον, δι' αὐξήσεως ἐπὶ τὴν ὀφειλομένην ποσότητα καὶ ἰσχὺν ἀφικέσθαι· τρίτον, πρὸς τὴν τῆς ληφθείσης ζωῆς συντήρησιν τρέφεσθαι· διὸ καὶ τῇ φυσικῇ ζωῇ, ἀρχῇ οὔσῃ τοῦ ζῆν, τρεῖς φυσικαὶ δυνάμεις ἀποδίδονται· ἡ γεννητική, ἡ αὐξητικὴ καὶ ἡ θρεπτική. Ἀλλ' ἐπεὶ συμβαίνει τι ἐμπόδιον περὶ τὴν ζωὴν ἡ ἀσθένεια, τέταρτόν ἐστι κατὰ συμβεβηκὸς ἀναγκαῖον, ἡ τοῦ ἀσθενῶς ζῶντος θεραπεία.

Ἐν τῇ πνευματικῇ οὖν ὁμοίως ζωῇ γέννησις μέν ἐστι τὸ βάπτισμα· αὔξησις δὲ ἐπὶ τελείαν ἰσχὺν ἄγουσα, τὸ τῆς χρίσεως μυστήριον· τὸ δὲ τῆς εὐχαριστίας μυστήριον, ἡ τροφή· τὸ δὲ τέταρτον, ἡ πνευματικὴ θεραπεία, ἥτις ἡ ἐν τῇ ψυχῇ μόνον γίνεται | τῷ μυστηρίῳ τῆς μετανοίας, ἡ f. 176
διαβαίνει καὶ ἐπὶ τὸ σῶμα, ὅταν ᾖ συμφέρον, διὰ τοῦ εὐχελαίου.

Ταῦτα μὲν τοῖς ἐν τῇ πνευματικῇ ζωῇ συντηρουμένοις προσήκει· οἱ δὲ χορηγοὶ καὶ τακτικοὶ τῆς σωματικῆς ζωῆς, διχῶς θεωροῦνται· ἢ κατὰ τὴν τῆς φύσεως γονιμότητα, ὅπερ ἐστὶ τῶν γονέων· ἢ κατὰ τὴν πολιτικὴν ἀρχήν, δι' ἧς τὸ εἰρηνικὸν τῆς ζωῆς τῷ ἀνθρώπῳ συντηρεῖται, καὶ τοῦτο τοῖς βασιλεῦσι καὶ ἄρχουσι προσήκει. Καὶ ἐν τῇ πνευματικῇ δὲ ζωῇ ὁμοίως, οἱ μέν εἰσιν αὐτῆς χορηγοὶ καὶ φυλακτικοὶ κατὰ τὴν διακονίαν μόνον, ὅπερ ἐστὶ τοῦ τῶν τάξεων μυστηρίου· οἳ δὲ καὶ κατὰ τὴν πνευματικὴν ὁμοῦ καὶ σωματικήν, ὡς γίνεται διὰ τοῦ μυστηρίου τοῦ γάμου, καθὸ συνίασιν ὁ ἀνὴρ καὶ ἡ γυνή, ὥστε γεννῆσαι τέκνον καὶ ἀναθρέψαι πρὸς τὴν τοῦ Θεοῦ λατρείαν.

## LIX. — Περὶ τοῦ βαπτίσματος.

Ἐπεὶ δὲ ἑκάστῳ τῶν μυστηρίων ἴδιον ἀποτέλεσμα προσήκει καὶ ἰδία ὕλη, τὸ μὲν βάπτισμα οὐ μόνον τὴν προγονικήν, ἀλλὰ καὶ τὰς κατ' ἐνέργειαν ἁμαρτίας ἀναιρεῖ· γίνεται δὲ δι' ὕδατος ἁγιαζομένου διὰ λόγου Θεοῦ, ἵνα τὸ σύμβολον τοῦ μυστηρίου τὸ ἀποτέλεσμα τὸ πνευματικὸν αὐτοῦ παριστάνῃ· σαφὲς δέ ἐστιν, ὅτι τὸ ὕδωρ ῥᾷόν τε καὶ κοινότερον ἐν τοῖς αἰσθητοῖς ἀποκαθαίρει τὸ αἶσχος. Ἀναιρεῖ δὲ οὐ μόνον τὰς ἁμαρτίας, ἀλλὰ καὶ πᾶσαν ἐνοχὴν ἁμαρτίας, καὶ πάσης ἀπολύει δίκης ὀφειλομένης, ὡς καθολική τις ἱκανοποίησις· ἐν παντὶ γὰρ γινομένῳ καὶ τὸ πρότερον ἀποβάλλεται εἶδος καὶ αἱ ἑπόμεναι αὐτῷ ἰδιότητες.

Οὐ μόνον δέ, ἀλλὰ καὶ πρὸς τὰς πνευματικὰς ἐνεργείας αὐτίκα εἰσὶν οἱ βαπτιζόμενοι ἱκανοί, οἷον πρὸς τὴν τῶν ἄλλων μυστηρίων ὑποδοχὴν καὶ εἴ τι τοιοῦτον. Αὐτίκα δὲ καὶ ὁ προσήκων τῇ πνευματικῇ ζωῇ δίδοται τόπος αὐτοῖς, καὶ οἱ βαπτισθέντες αὐτίκα εἰς τὴν μακαρίαν ζωὴν προσλαμβάνονται, εἰ αὐτίκα θάνοιεν· διὸ καὶ λέγεται τὸ βάπτισμα τὴν πύλην ἀνοίγειν τοῦ οὐρανοῦ· καὶ ταῦτα εὐλόγως· ἐπεὶ γὰρ ἕκαστον διὰ γεννήσεως τινὸς τοῦ εἴδους τυγχάνει, ἅμα καὶ τῆς προσηκούσης τῷ εἴδει ἐνεργείας καὶ τοῦ προσήκοντος τυγχάνει τόπου, ὡς ἐπὶ τοῦ πυρὸς δῆλον.



Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Ἰστέον δὲ ὡς, καθάπερ ἑνὸς ἑκάστου μία γέννησις μόνον, οὕτω καὶ ἅπαξ τις ἀναγεννᾶται διὰ βαπτίσματος. Ἀλλὰ μὴν καὶ τὸ διὰ τοῦ Ἀδὰμ ἄγος ἅπαξ ἐκοίνωσε τὸν ἄνθρωπον, ὥστε καὶ τὸ βάπτισμα τὸ καθαῖρον f. 176 v ἐκείνου δὶς οὐκ ὀφείλει προσ|ενεγχθῆναι· τοῦτο δέ ἐστι καὶ πᾶσι τοῖς καθιερωμένοις κοινόν· οὐ γὰρ πάλιν καθιεροῦνται, ἵνα μὴ ἡ καθιέρωσις ἀδρανὴς δοκοίη. Ἐντεῦθεν καὶ ἡ τῶν Δονατιστῶν καὶ τῶν ἀναβαπτιζόντων αἵρεσις ἀπελαύνεται.

## LX. — Περὶ τῆς χρίσεως.

Τὸ δὲ τέλειον τῆς πνευματικῆς ἰσχύος ἐν τούτῳ ἰδίως συνίσταται, τῷ τὸν ἄνθρωπον τὴν τοῦ Χριστοῦ πίστιν τολμᾶν ἐνώπιον πάντων ὁμολογεῖν, καὶ μὴ ἀφέλκεσθαι τούτου διά τινα αἰσχύνην ἢ φόβον· ἡ γὰρ ἀνδρία τὸν ἄτακτον φόβον ἐλαύνει. Τὸ μυστήριον τοίνυν δι' οὗ τῷ γεννηθέντι ἡ πνευματικὴ ἰσχὺς δίδοται, μαχητὴν τρόπον τινὰ ποιεῖ τοῦτον ὑπὲρ τῆς πίστεως τοῦ Χριστοῦ. Καὶ ἐπεὶ οἱ ὑπό τινα ἄρχοντα τεταγμένοι καὶ μαχόμενοι φέρουσι καὶ τὰ σημεῖα ἐκείνου, διὰ τοῦτο καὶ οἱ τὸ τοῦ χρίσματος μυστήριον δεχόμενοι τῷ σημείῳ τοῦ Χριστοῦ σημειοῦνται, τουτέστι τῷ τοῦ σταυροῦ, ᾧ καὶ ὁ Χριστὸς ἐπολέμησε καὶ ἐνίκησεν. Τοῦτο δὲ τὸ σημεῖον ἐν τῷ μετώπῳ λαμβάνουσιν, δεῖγμα τοῦ δημοσίᾳ μὴ ὑπαισχύνεσθαι τὴν τοῦ Χριστοῦ πίστιν ὁμολογεῖν. Ἡ δὲ σημείωσις αὕτη ἐξ ἐλαίου καὶ βαλσάμου κατασκευάζεται, ὅπερ ὀνομάζεται χρίσμα, καὶ οὐκ ἀλόγως· διὰ μὲν γὰρ τοῦ ἐλαίου δηλοῦται ἡ τοῦ ἁγίου Πνεύματος δύναμις, ᾧ καὶ ὁ Χριστὸς κεχρισμένος, Χριστὸς ὀνομάζεται, ἵν' οὕτως ἀπὸ τοῦ Χριστοῦ χριστιανοὶ ὀνομάζοιντο ὡς ὑπ' αὐτῷ στρατευόμενοι. Ἐν δὲ τῇ τοῦ βαλσάμου εὐωδίᾳ ἡ ἀγαθὴ δείκνυται φήμη, ἣν ἔχειν ἀνάγκη τοὺς ἐν τοῖς κοσμικοῖς στρεφομένους, ὥστε παρρησίᾳ τὴν τοῦ Χριστοῦ πίστιν ὁμολογεῖν, ὡς ἂν ἐν τῷ τοῦ ἀγῶνος πεδίῳ ὑπὲρ τῶν τῆς ἐκκλησίας προβληθέντες δογμάτων. Εἰκότως δὲ καὶ παρὰ τῶν ἀρχιερέων μόνων τὸ μυστήριον τοῦτο δίδοται· οὗτοι γάρ εἰσι τρόπον τινὰ τοῦ χριστιανικοῦ τάγματος ἡγεμόνες· καὶ γὰρ καὶ ἐν τῇ κοσμικῇ στρατείᾳ τοῦ στρατηγοῦ ἐστιν ἀπογράφεσθαί τινας στράτευμα καταλέγοντα, ἵν' οὕτως οἱ τὸ μυστήριον τοῦτο δεχόμενοι ἐπὶ τὴν πνευματικὴν τρόπον τινὰ στρατείαν ἀπογράφεσθαι δοκῶσιν.

## LXI. — Περὶ τῆς εὐχαριστίας.

Ὥσπερ δὲ ἡ σωματικὴ ζωὴ φυσικῆς τροφῆς δεῖται, τοῦτο μὲν διὰ τὴν τῆς ποσότητος αὔξησιν, τοῦτο δὲ διὰ τὸ ὑπερείδειν τοῦ σώματος τὴν φύσιν, ἵνα μὴ διὰ τὰς συνεχεῖς ἀπορροίας διαλυθῇ, καὶ ἡ δύναμις τούτου ἀπόλληται, οὕτω καὶ ἐν τῇ πνευματικῇ ζωῇ ἀναγκαῖον τροφὴν ἔχειν πνευ-

4 *προσενεγχθῆναι* sic A

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006